## ΙΗ΄ ΚΡΙΤΙΑΣ ΑΘΗΝΑΙΟΣ ΕΙΣ ΑΝΑΚΡΕΟΝΤΑ *

Τὸν δὲ γυναικείων μελέων πλέξαντά ποτ᾽ ᾠδάς,
Ἡδὺν Ἀνακρείοντα, Τέως εἰς Ἑλλάδ᾽ ἀνῆγεν,
Συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,
Αὐλῶν ἀντίπαλον Φιλοβάρβιτον, αἰὲν ἄλυπον·
Οὔποτέ σευ φιλότης γηράσσεται, ȣ̓δὲ θανεῖται,
Ἔς τ᾽ ἂν ὕδωρ οἴνῳ συμμιγνύμενον κυλίκεσσιν
Παῖς διαπομπεύσῃ προπόσεις, ἐπιδέξια νωμῶν,
Παννυχίδας θ᾽ ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσι,
Πλάστιγξ θ᾽, ἡ χαλκȣ̃ θυγάτηρ, ἐπ᾽ ἄκροισι, καθίζῃ
Κοττάβȣ ὑψηλαῖς κορυφαῖς Βρομίȣ ψεκάδεσσιν.

* Extat ap. Athen. 13, 8. p. 600. D: Met. 1, p. 67. Holst. p. 141.

4. φιλοβ., ἡδὺν, ἄλυπον Athen. Met.
5. σȣ — γηράσεται Athen. Met.
6. κυλίκεσσι Athen. Met.
7. ἐπὶ δεξιὸν ὦμον MSS. Athen. Met. Altera lectio est e coni. Casauboni.
8. ἀμφιέπωσιν Athen. Met.
9. καθίζοι Athen. Met. Casaub. coni. ἐπ᾽ ἄκραισι καθίζει.
10. ψεκάδεσσι Met.